Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες
ἐπὶ σέ, εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κα-
τασκηνώσεις ἐν αὐτοῖς.
Καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγαπῶν-
τες τὸ ὄνομά σου, ὅτι σὺ εὐλογήσεις δίκαιον.
Κύριε ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

Εἰς τὸ τέλος ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης.

Ψαλμὸς τῷ Δαβίδ. ς.

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με,
μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
Ἐλέησόν με κύριε, ὅτι ἀσθενής εἰμι, ἴασαί με
κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου.
Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα, καὶ σὺ
κύριε ἕως πότε; Ἐπίστρεψον κύριε ~~καὶ~~
ῥῦσαι τὴν ψυχήν μου
Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου, ὅτι οὐκ ἔστιν
ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ
ᾅδῃ τίς ἐξομολογήσεταί σοι;
Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ᾽
ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυ-
σί μου τὴν στρωμνήν μου βρέξω.
Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου,